forme comme les fastes de ces flottes.

Mittheilungen des kaiserlich deutschen archaeologischen Instituts. Athenische Abtheilung, 1899.

P. 275-293. Mommsen et Wilamowitz-Möllendorff publient et commentent un nouvel exemplaire, trouvé à Priène, du décret relatif à l'introduction du calendrier Julien dans la province d'Asie sous Auguste (cf. *Ann. épigr.*, 1896, n° 19). Le texte grec serait le suivant :

**76**)

[Παρ]ὰ τῶν πρότ[ε]ρον παρειλ[ήφαμεν]
τῶν θεῶν [ε]ὐμενὲς κα[ὶ]

[πότ]ερον ἡδείων ἢ ὠφελ[ιμώτερά ἐ]στιν ἡ τοῦ θειοτάτου Καίσαρος γενέθλιος ἡμέρα, ἣν τῆι τῶν πάντων ἀρχῆι ἴσην δικαίως, ἂν εἶναι ὑπ[ολάβ]οιμεν, καὶ εἰμὴ τῆι φύσει τῶι γε χρησίμωι, εἴγε οὐδὲ[ν ο]ὐχὶ διαπε[ῖ]πτον καὶ εἰς ἀποχες μεταβεβηκὸς σχῆμα ἀνώρθωσεν, ἑτεράν τε ἔδοκεν παντὶ τῶι κόσμῳ ὄψιν, ἥδιστα ἄν δεξαμένωι φθοράν, εὐ μὴ τὸ κοινὸν πάντων εὐτύχημα ἐπεγεννήθη Καῖσαρ · διὸ ἄν τις δικαίως ὑπόλαβοι τοῦτο αὐτῶι ἀρχὴν τοῦ βίου καὶ τῆς ζωῆς γεγονέναι, ὅ ἐστιν πέρας καὶ ὅρος τοῦ μεταμέλεσθαι, ὅτι γεγέννηται · καὶ ἐπεὶ οὐδεμιᾶς ἂν ἀπὸ ἡμέρας εἴς τε τὸ κοινὸν καὶ εἰς τὸ ἴδιον ἕκαστος ὄφελος εὐτυχεστέρας λάβοι ἀφορμὰς ἢ τῆς πᾶσιν γενομένης εὐτυχοῦς, σχεδόν τε συμβαίνει τὸν αὐτὸν ταῖς ἐν Ἀσίαι πόλεσιν καιρὸν εἶναι τῆς εἰς τὴν ἀρχὴν εἰσόδου, δηλονότι κα[τά τιν]α θήαν βούλησιν οὕτως τῆς τάξεως προτετυπωμένης, ἵνα ἀφορμὴ γένοιτο τῆς εἰς τὸν Σεβαστὸν τειμῆς, καὶ ἐπειδὴ δύσκολον μέν ἐστιν τοῖς τοσούτοις αὐτοῦ εὐεργετήμασιν κατ' ἴσον ε[ὐ]χαριστεῖν, εἰ μὴ παρ' ἕκαστα ἐπινοήσαιμεν τρόπον τινὰ τῆς ἀμείψε[ως καινόν, ἥδειον δ' ἂν ἀνθρώποις ἣν κοινὴν πᾶσιν ἡμέραν γενέθλιον ἀγα[γεῖν, ἐ]ὰν προσγένηται αὐτοῖς καὶ ἰδία τις διὰ τὴν ἀρχὴν ἡδονή, δοκεῖ μοι πασῶν τῶν πολειτηῶν εἶναι μίαν καὶ τὴν αὐτὴν νέαν νουμηνίαν τὴν τοῦ θηοτάτου Καίσαρος γενέθλιον, ἐκείνηι τε πάντας εἰς τὴν ἀρχὴν ἐνβαίνειν, ἥτις ἐστὶν πρὸ ἐννέα καλανδῶν ὀκτωβρίων, ὅπως καὶ περισσότερον τειμηθῇ προσλαβομένη ἔξωθέν τινα θρησκήαν καὶ μᾶλλον πᾶσιν γένηται γνώριμος, ἣν οἴομαι καὶ πλείστην εὐχρηστίαν τῆι ἐπαρχήα παρέξεσθαι · ψήφισμα δὲ ὑπὸ τοῦ κοινοῦ τῆς Ἀσίας δεήσει γραφῆναι πάσας ἐνπεριειληφὸς τὰς ἀρετὰς αὐτοῦ, ἵνα τὸ ἐπινοηθὲν ὑφ' ἡμῶν εἰς τὴν τειμὴν τοῦ Σεβαστοῦ μείνῃ αἰώνιον, προστάξω δὲ χαραχθὲν ⟨ἐν⟩ τῇ στήλῃ τὸ ψήφισμα ἐν τῷ ναῷ ἀνατεθῆναι, προτάξας τὸ διάταγμα ἑκατέρως γραφέν. Ἔδοξεν τοῖς ἐπὶ τῆς Ἀσίας